UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

Aristophanis Comoediae Undecim

Graece Et Latine, Ad fidem optimorum Codicum MSS. emendatae cum nova octo Comoediarum interpretatione Latina, & notis ad singulas ineditis Stephani Bergleri nec non Caroli Andreae Dukeri ad quatuor priores. Accedunt Deperditarum Comoediarum Fragmenta, A Theod. Cantero Et Gul. Coddaeo Collecta, ...

Aristophanes

Lugduni Batavorum, MDCCLX

Actus secundi scena prima

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1115

Visual Library

ACTUS SECUNDI

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ, ΜΗΤΗΡ, ΘΥΓΑΤΗΡ.

ΔΙΚ. Εὐφημεῖτε, εὐφημεῖτε.
ΧΟΡ. Σίγα πᾶς. ἠκούσατ' ἄνδρες ἄρα τῆς εὐφημίας;
Οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. Ἀλλὰ δεῦρο πᾶς
Ἐκποδών· θύσων γὰρ ἀνήρ, ὡς ἔοικ', ἐξέρχεται.
ΔΙΚ. Εὐφημεῖτε, εὐφημεῖτε.
Προΐθ' ὡς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος·
Ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
ΜΗΤ. Κατάθου τὸ κανοῦν, ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.
ΘΥΓ. Ὦ μῆτερ, ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
Ἵν' ἔτνος καταχέω τοῦ 'λατῆρος τουτουΐ.
ΔΙΚ. Καὶ μὴν καλόν γ' ἔστ', ὦ Διόνυσε δέσποτα,
Κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
Πέμψαντα, καὶ θύσαντα μετὰ τῶν οἰκετῶν,
Ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια,
Στρατιᾶς ἀπαλλαχθέντα, τὰς σπονδὰς δέ μοι
Καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
ΜΗΤ. Ἄγ', ὦ θύγατερ, ὅπως τὸ κανοῦν καλὴ καλῶς
Οἴσεις, βλέπουσα θυμβροφάγον· ὡς μακάριος
Ὅστις σ' ὀπύσει, κἀκποιήσεται γαλᾶς
Σοῦ μηδὲν ἧττον βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
Πρόβαινε, κἀν τῷ 'χλῳ φυλάττεσθαι σφόδρα,
Μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.

ΔΙΚ.

vſ. 236. Εὐφημεῖτε] Hoc Dicaeopolis dicit ſacrificans; nam Dionyſia celebrat. Supra idem dicebat: *ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια*, vſ. 200.

vſ. 238. Ἀλλὰ δεῦρο πᾶς] Supra vſ. 203. τῇδε πᾶς ἴτω.

vſ. 241. Προΐθ' ὡς τὸ πρόσθεν] Ὡς pro πρός· ſupra paulo aliter vſ. 43. πάριτ' εἰς τὸ πρόσθεν.

Ibid. Ἡ κανηφόρος] Virgines, & quidem, ut Scholiaſtes ait, nobiliores, geſtabant caniſtra in Dionyſiis. Thucydides VI. Τὴν ἀδελφὴν γὰρ αὐτοῦ κόρην ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινι, ἀπήλασαν λέγοντες, οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχήν, διὰ τὸ μὴ ἀξίαν εἶναι· *Sororem enim Harmodii virginem, cum Hippias & Hipparchus juſſiſſent venire ad ferendum caniſtrum, in quadam pompa; abegerunt, dicentes, ſe omnino non juſſiſſe, quia non eſſet digna.*

vſ. 242. Τὸν φαλλόν] Penis eſt coriaceus, aut pertica appenſum habens ejusmodi penem. Adhibentur autem Phalli in Bacchi ſacris, & originem traxerunt ex Aegypto, ut alia pleraque religionis Graecanicae. Herodotus in Euterpe: Τὴν δὲ ἄλλην ἀνάγουσι ὁρτὴν τῷ Διονύσῳ οἱ Αἰγύπτιοι, πλὴν χορῶν, κατὰ ταυτὰ σχεδὸν πάντα τοῖς Ἕλλησι· ἀντὶ δὲ φαλλῶν, ἄλλα σφι ἐστὶ ἐξευρημένα, ὅσον τε πηχυαῖα ἀγάλματα νευρόσπαστα, τὰ περιφορέουσι κατὰ τὰς κώμας ταὶ γυναῖκες, νεῦον τὸ αἰδοῖον, οὐ πολλῷ τέῳ ἔλασσον ἐὸν τοῦ ἄλλου σώματος· προηγέεται δὲ αὐλός· αἱ δὲ ἕπονται ἀείδουσαι τὸν Διόνυσον. διότι δὲ μέζον τε ἔχει τὸ αἰδοῖον, καὶ κινέει μοῦνον τοῦ σώματος, ἔστι λόγος περὶ αὐτοῦ ἱρὸς λεγόμενος. Ἤδη ὦν δοκέει μοι Μελάμπους ὁ Ἀμυθέωνος τῆς θυσίης ταύτης οὐκ εἶναι ἀδαὴς ἀλλ' ἔμπειρος· Ἕλλησι γὰρ δὴ Μελάμπους ἐστὶ ὁ ἐξηγησάμενος τοῦ Διονύσου τοὔνομα, καὶ τὴν θυσίην καὶ τὴν πομπὴν τοῦ Φαλλοῦ· *Reliquam ſolennitatem agitant Baccho Aegyptii eodem fere modo, quo Graeci, niſi*

quod

SCENA PRIMA.

DICAEOPOLIS, CHORUS, MATER, FILIA.

DIC. Ore favete, ore favete.
CHOR. Silete omnes. Audiſtisne hunc faventiam imperare?
Hic eſt ipſe quem quaerimus. Sed huc omnes
Decedite. nam, ut videtur, iſte homo ſacrificaturus prodit.
DIC. Ore favete, ore favete.
Procede paulo ulterius (*I prae*) tu caniſtrifera:
Xanthias autem Phallum erectum ſtatuat.
MAT. Depone caniſtrum, ô filia, ut libemus.
FIL. Mater, da mihi trullam,
Ut pulte perfundam hanc placentam.
DIC. Aequum ſane eſt, ô magne Dionyſe,
Me animo grato hanc pompam tibi
Mittentem, & ſacrificantem cum domeſticis,
Proſpere agitare Dionyſia ruralia,
Militaribus miſeriis liberatum, induciasque mihi
Tricennales bene cedere.
MAT. Fac, filia mea, ut caniſtrum bella belle
Portes, vultu auſtero, quaſi thymbram (*Saturejam*) comediſſes: ô quam beatus
Erit, qui te inibit, facietque ut muſtelae
Non minus videantur pedere, quam tu, matutino tempore.
Progredere, & in turba ſedulo cave,
Ne quis clam tuum arrodat aurum.

quod Porcos mactant. Pro Phallis autem alia ſunt ipſis excogitata ſimulacra, quaſi cubitalia, nervis moveri ſolita, quae circumferunt per vicos foeminae, habentia penem nutantem, haud multo minorem reliquo corpore: praeeunt autem tibicines, & illae ſequuntur cantantes Bacchum. Cur autem majorem habeant penem, & illam corporis partem ſolam moveant, de ea re eſt narratio arcana. Videtur autem mihi Melampus Amythaonis F. non ignoraſſe haec ſacra; Graecis enim Melampus oſtendit Bacchi nomen, & ſacra & Phalli pompam. Talia fere erant ſimulacra Priapi.

vſ. 244. Τὴν ἐτήρυσιν] Ab ἀρύω, *haurio*, ut οἰνήρυσις infra vſ. 1066. φέρε τὴν οἰνήρυσιν, ἵν' οἶνον ἐγχέω.

vſ. 249. 'Αγαγεῖν] Supra vſ. 201.

vſ. 251. Καλῶς ξυνενεγκεῖν] In precationibus ſaepe ponitur infinivus abſolute; ut in Ranis vſ. 908. εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.

vſ 253. Βλέπουσα θυμβροφάγον] Comica phraſis. Vide in Equit. vſ. 628.

vſ. 254. κἀκποιήσεται γαλᾶς] Videbatur dicturus: καὶ ἐκποιήσεταί σε παῖδας· pro: καὶ ποιήσεται παῖδας ἐκ σοῦ· *& ex te procreabit liberos.* Sed alio torſit orationem, quaſi dicat: καὶ ποιήσει τὰς γαλᾶς μηδὲν ἧττον σοῦ βδεῖν. quae & ipſa tamen oratio perverſa eſt; nam dicendum videtur fuiſſe: καὶ ποιήσει σε μηδὲν ἧττον βδεῖν γαλῶν. In Pluto vſ. 693. ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.

vſ. 256. Φυλάττεσθαι] Infinitivus pro imperativo, ut ſaepe alias.

vſ. 257. Μή τις] A furibus periculum fuiſſe in Scena, patet etiam ex Pace vſ. 730. ὡς εἰώθασι μάλιστα περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν καὶ κακοποιεῖν.

ΔΙΚ. Ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
Ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου.
Ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν.
Σὺ δ', ὦ γύναι, θεῶ μ' ἀπὸ τοῦ τέγους· πρόβα.
Φαλῆς, ἑταῖρε Βακχείου,
Σύγκωμε, νυκτοπεριπλάνη-
τε, μοιχὲ, παιδεραστά·
Ἕκτῳ σ' ἔτει προσεῖπον ἐς
Τὸν δῆμον ἐλθὼν ἄσμενος,
Σπονδὰς ποιησάμενος ἐμαυ-
τῷ, πραγμάτων τε, καὶ μαχῶν,
Καὶ Λαμάχων ἀπαλλαγείς.
Πολλῷ γάρ ἐστιν ἥδιον, ὦ Φαλῆς, Φαλῆς,
Κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
Τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως,
Μέσην λαβόντ' ἄραντα, κατα-
βαλόντα, καταγιγαρτίσ', ὦ
Φαλῆς, Φαλῆς.
Ἐὰν μεθ' ἡμῶν ξυμπίης, ἐκ κραιπάλης
Ἕωθεν εἰρήνης ῥοφήσεις τρύβλιον,
Ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.

ACTUS SECUNDI

ΧΟΡΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

ΧΟΡ. Οὗτος αὐτός ἐστιν, οὗτος.
Βάλλε, βάλλε, βάλλε, βάλλε,
Παῖε, παῖε τὸν μιαρόν.
Οὐ βαλεῖς ἄν, οὐ βαλεῖς;
ΔΙΚ. Ἡράκλεις, τουτὶ τί ἐστι; τὴν χύτραν συντρίψετε.

ΧΟΡ.

vſ. 265. Ἕκτῳ σ' ἔτει] Sextus erat annus Belli Peloponneſiaci; infra vſ. 890. ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην.

Ibid. & ſeq. Προσεῖπον, ἐς τὸν δῆμον ἐλθὼν ἄσμενος] Eurip. in Hercule Furente vſ. 524. ὡς ἄσμενός σ' ἐσεῖδον ἐς φάος μολών· *Quam libens te adſpicio, poſtquam in lucem veni.*

vſ. 268 & 269. Μαχῶν καὶ Λαμάχων] Infra vſ. 1070. Ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι. Erat Lamachus unus ex ducibus apud Athenienſes: & vere ἐπώνυμος· nam cupiebat praelia & bella, ut ex praefectura lucrum caperet: λάμαχος autem vi etymologiae idem eſt quod βουλόμαχος· ut ipſe Comicus indicat in Pace vſ. 129. & ſeq. nam λῶ eſt *volo*, ut infra vſ. 766. & ſeq.

vſ. 272. Θρᾷτταν] Ancillae nomen a patria. In Pace vſ 1139. τὴν Θρᾷτταν κυνῶν. Vide in Theſm. vſ. 286. Φελλεὺς autem vocatur locus *aſper*, & videtur in Attica locus aliquis proprie ita dictus fuiſſe. Vide in Nub. vſ. 71.

vſ. 273.

Dic. Vos, ô Xanthia, erectum tenere oportet
Phallum pone caniſtriferam;
Ego autem ſubſequens cantabo phallicum carmen.
Tu vero, uxor mea, de tecto ſpecta. Procede
Phalle, Baccho amice,
Comiſſator, noctiva-
ge, adulter, puerorum amator.
Sexto demum anno te alloquor, in
Pagum meum reverſus lubenti animo,
Poſtquam inducias pactus ſum mihi
Ipſi, bellis & praeliis,
Et Lamacho ſolutus.
Multo enim jucundiſſimum eſt, ô Phalle, Phalle,
Si quis inveniens lignatricem maturam viro, furantem *ligna*
Ex Phelleo, Strymodori *inquam* ancillam,
Mediam corripiat, tollat, humique de-
jiciat, & ibidem permolat, ô
Phalle, Phalle.
Si vero potaveris nobiſcum, heſterno vino gravis
Mane pacis catinum ſorbebis,
Clypeus autem in fumo pendebit.

SCENA SECUNDA.

Chorus, Dicaeopolis.

Chor. Iſte ipſe eſt, iſte;
Jaculare, jaculare ſaxis,
Percute, percute impurum illum.
Annon jaculaberis, nonne?
Dic. ô Hercules, quid hoc eſt? num ollam frangetis?

Chor.

vſ. 273. Μέσην λαβόντ' ἄραντα, καταβαλόντα] Aelianus Epiſt. 9. ἐμέλλησα δ' ἂν τὴν —— Θῃβαΐδα —— ἀράμενος μέσην, εἶτα ῥίψας εἰς τὸ κλινίδιον ἔχεσθαι τῆς σπουδῆς.

vſ. 274. Καταγιγαρτίσαι] Vox Comicae licentiae, ut κατατριακοντουτίσαι in Equit. vſ. 1385.

vſ. 278. Ἡ δ' ἀσπὶς ἐν φεψάλῳ κρεμήσεται] In Avibus vſ. 435. ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν πάλιν ταύτην λαβόντε, κρεμάσατον τύχῃ 'γαθῇ εἰς τὸν ἰπνὸν εἴσω. Euripides: Θρῃκίαν πέλτην πρὸς Ἀθηνᾶς Περικίοσιν ἐγκρεμάσας· *Threſſam peltam ad Minervae thalamos columnis fultos ſuſpendens.*

vſ. 280. Βάλλε] Euripides in Rheſo vſ. 675. Ἔα, Ἔα· βάλλε, βάλλε, βάλλε, βάλλε. Θεῖνε, θεῖνε. Dum autem peregit ſacra Dicaeopolis, continuit ſe Chorus; nunc eum aggreditur, puniturus quod pacem fecit: deinde cauſam dicit Dicaeopolis.